Universitätsbibliothek Paderborn

# Theodōritu Episkopu Kyru Kai Eyagriu Scholastiku Ekklēsiastikē Istoria, Eklogai Apo Tōn Istoriōn Philostorgiu Kai Theodōru

**Theodoretus <Cyrrhensis>**

**Mogvntiae, 1679**

XXXVI. Quomodo Saraceni pacem cum Romanis fecerunt.

urn:nbn:de:hbz:466:1-14162

Visual Library

A

## Cap. XXXV.

*De extincta Isaurorum tyrannide.*

PORro non absurdum fuerit hoc loco, si res quoque alias memoratu dignas, quæ Anastasii temporibus acciderunt, juxta id quod antea polliciti sumus, huic historiæ adtexamus. Longinus Zenonis consanguineus, cum in patria m suam, sicut antea commemoratum est, advenisset, palam adversus Imperatorem bellum suscepit. Plurimis igitur collectis utrinque copiis, in quibus erat etiam Conon, Apamiæ in Syria olim Episcopus, qui unà cum Isauris, B utpote Isaurus, militabat, bellum tandem hujusmodi exitu terminatum est. Isauri quidem qui unà cum Longino militaverant, omnes ad internecionem cæsi. Longini verò ac Theodori capita, ab Joanne Scytha Constantinopolim missa sunt. Quæ Imperator contis suffixa circumferri, & in suburbano Sycensi, quod ex adverso Byzantii situm est, suspendi jussit: quod spectaculum Constantinopolitanis gratissimum fuit, ob mala, quæ à Zenone & ab Isauris perpessi fuerant. Alter verò Longinus, cognomento Selinuntius, præcipuum robur Tyrannicæ factionis, C & cum illo Indes, ab Johanne, cognomento Gibbo, vivi capti sunt, & ad Imperatorem Anastasium missi. Quæ res & Imperatorem & populum Constantinopolitanum magnopere recreavit, cum Longinus & Indes, tanquam in triumphali pompa, per vicos urbis & in Circo traducerentur, catenas ferreas colloac manibus circumjectas gestantes. Ex eo tempore munera, quæ vocabantur Isaurica, in Principis ærarium inferri cœpere. Id erat aurum, quod Barbaris quotannis pendebatur, librarum scilicet quinque millia.

## Κεφ. λε΄.

Περὶ τῆς τῶν τυράννων ἰσαύρων καθαιρέσεως.

ΟΥκ ἀπὸ δὲ τρόπου καθ᾽ ἣν ἐτύχομεν προκαταβεβληκότες ὑπόσχεσιν, καὶ τὰ ἕτερα λόγου ἄξια ὑπὸ τοῖς ἀναστασίου χρόνοις γενομένοις συνάψαι τῇ ἱστορίᾳ. λογγῖνος ὁ ζήνωνος ὅμαιμος, τὴν ἐνεγκαμένην ὡς προδεδήλωται καταλειληφὼς, τὸν πρὸς τὸν αὐτοκράτορα πόλεμον ἀναφανδὸν ἀναζώννυται· καὶ πολλῶν ἔνθεν τε κἀκεῖθεν συναθροισθεισῶν δυνάμεων, μεθ᾽ ὧν καὶ κόνων ἐτύγχανεν ὤν, ἐπίσκοπος τῆς ἐν ἀπαμείᾳ τῶν σύρων ἐπαρχίας γεγονὼς, τοῖς ἰσαύροις ὡς ἴσαυρος συνεστράτευσε. τέλος ἐπιτίθεται τῷ πολέμῳ· τῶν μὲν ἰσαύρων τῶν συστρατευσάντων τῷ λογγίνῳ πανωλεθρίᾳ φθαρέντων. τῶν δὲ κεφαλῶν λογγίνου, καὶ θεοδώρου πρὸς ἰωάννου τοῦ σκύθου σταλεισῶν ἀνὰ τὴν βασιλέως πόλιν ἃς καὶ ἐν κοντοῖς περιαρτήσας ὁ βασιλεὺς, ἐν ταῖς καλουμέναις συκαῖς ἀντιπέραν τῆς κωνσταντίνου κειμένης ἐπηώρησεν, ἡδὺ θέαμα τοῖς βυζαντίοις, ἀνθ᾽ ὧν κακῶς πρὸς ζήνωνος καὶ τῶν ἰσαύρων ἐπεπόνθεσαν. καὶ ὁ ἕτερος δὲ λογγῖνος, τὸ πολὺ τῆς τυραννίδος συνέχων, ὁ ἐπίκλην σελινούντιος, καὶ ἴνδης σὺν αὐτῷ, πρὸς ἰωάννου τοῦ ἐπίκλην κυρτοῦ σταλέντες τῷ ἀναστασίῳ ζωγρείᾳ, ὃ μάλιστα τόν τε βασιλέα, τούς τε βυζαντίους τεθεράπευκε, θριάμβου δίκην ἀνὰ τὰς λεωφόρους τῆς πόλεως, ἀνά τε τὴν ἱπποδρομίαν λογγίνου τε καὶ ἴνδου περιενεχθέντων, καὶ τῶν ἐκ σιδήρου πεποιημένων ἁλύσεων ἀνὰ τοὺς αὐχένας καὶ τὰς χεῖρας περιβεβλημένων· ἐντεῦθεν καὶ τὰ καλούμενα πρώην ἰσαυρικὰ τοῖς βασιλικοῖς εἰσηνέχθη θησαυροῖς· ἦν δὲ ἄρα τοῦτο, χρυσίον ἐς ἕκαστον D ἔτος τοῖς βαρβάροις χορηγούμενον, πεντακισχιλίας ἕλκον λίτρας.

## Cap. XXXVI.

*Quomodo Saraceni pacem cum Romanis fecerunt.*

SEd & Barbari, quos Scenitas vocant, non sine suo ipsorum damno insultarunt Imperio Romano, Mesopotamiam & utramque Phœnicem & Palæstinam provincias depopulati. Verum à ducibus Romanis, qui in singulis provinciis erant, gravi clade affecti, postmodum quievere, cum universa gens pacem cum Romanis fecisset.

## Κεφ. λϛ΄.

Περὶ τῶν σκηνιτῶν βαρβάρων, ὡς ἐσπείσαντο πρὸς ῥωμαίους.

ἘΠεκώμασαν οὐκ εἰς τὸ συνοῖσον σφίσι καὶ τῆς ῥωμαϊκῆς ἐπικρατείας καὶ οἱ σκηνῖται βάρβαροι, τά τε τῆς μέσης τῶν ποταμῶν, τά τε τῆς φοινίκεως ἑκατέρας καὶ τὰ παλαιστινῶν ληϊσάμενοι πράγματα. οἵπερ κακῶς παρὰ τῶν ἑκασταχοῦ στρατηγούντων παθόντες, ὕστερον τὴν ἡσυχίαν ἤγαγον, πρὸς ῥωμαίους πανσυδεὶ σπεισάμενοι.